Γέται.

1

302. Τῶ μὲν ἔπι πρὸς βορέην [illegible] φῦλα νέμονται
Πολλὰ μάλ' ἑξείης, Μαιώτιδος ἐς στόμα λίμνης,
Γερμανοί, Σαρμάταί τε, Γέται θ' ἅμα, Βαστάρναι τε.

Διονυσίου
Οἰκουμένης
Περιήγησις
Τ. Β. σ. 845

---

(3) Ὅτι τοὺς Γέτας Διονύσιος μὲν πρὸς βορρᾶν τοῦ Ἴστρου οἰκεῖν, ὡς προείρηται, καθὰ καὶ τοὺς Σαρμάτας, οἳ ἔθνος εἰσὶ Σκυθικόν. Ἡρόδοτος δὲ μέρος οἴεται εἶναι τῶν Θρᾳκῶν τοὺς Γέτας· ὁ δὲ Γεωγράφος ἐπὶ ἑκάτερα τοῦ ποταμοῦ αὐτοὺς οἰκεῖν ἱστορεῖ, ὡς καὶ τοὺς Μυσοὺς καὶ τοὺς Θρᾷκας· φιλοσοφοῦσι δέ, φησίν, οὗτοι, καὶ περὶ τὸ θεῖον σπουδάζουσι· παρ' οἷς ἦν καὶ ὁ Ζάμολξις Πυθαγόρου μαθητής, καὶ [illegible] ποιμαίνουσι, καὶ διὰ αὐτῆς νομαδικῆς [illegible] τοῦτο, καὶ [illegible] τῇ [illegible] τῶν στρατευμάτων ἐγένοντο [illegible] οἱ Γέται, φησὶ καὶ τοῖς Ῥωμαίοις φοβεροί, καὶ διαβαίνοντες τὸν [illegible] [illegible] τοῖς Ἰλλυριοῖς, καὶ τοὺς Θρᾷκας, καὶ τοὺς Μακεδόνας. νόμος δὲ Γετικὸς ἐπισφάζεσθαι τὴν γυναῖκα τῷ ἀνδρὶ θανόντι, καὶ κιθαρίζειν, ὅταν ἐπικηρυκεύωνται· [illegible] δὲ καὶ τοξεύειν φησὶν αὐτοὺς ἄνω πρὸς τὴν βροντὴν καὶ τὴν ἀστραπὴν ἀπειλοῦντας τῷ θεῷ. Ἔτι φησὶν ὁ Γεωγράφος διαβῆναι μέν ποτε τὸν Ἀλέξανδρον εἰς τοὺς πέραν Ἴστρου Γέτας, διὰ ταχέων δὲ ἀναστρέψαι, λαβόντα δῶρα· λέγεται δὲ καὶ ὡς τοσοῦτον αὐτοί τε καὶ οἱ Δάκαι ηὐξήθησάν ποτε, ὥστε καὶ εἴκοσι μυριάδας ἐκπέμπειν στρατοῦ· ὕστερον δὲ συσταλέντες, ἐγγὺς ἦλθον τοῦ ὑπακούειν Ῥωμαίοις· ὁ δὲ Ἰουλιανὸς ἐν τοῖς τῶν Καισάρων γράφει, ὅτι τὸ τῶν Γετῶν ἔθνος τῶν πώποτε μαχιμώτατον, διά τε τὴν ἀνδρείαν καὶ τὸν Ζάμολξιν, ὃν ἐσέβοντο· ὃς

Γέται.

γὰρ ἀποθνήσκειν, ἀλλὰ μετοικίζεσθαι νομίζοντες ἑτοιμότερον θνήσκουσιν, ἢ τὰς ἀποδημίας ὑπομένουσι· καὶ Ἡρόδοτος δὲ ἀθανατίζοντας αὐτοὺς καλεῖ, διὰ τὸν ῥηθέντα γέτα Ζάμολξιν, ὃν καὶ μαθητεῦσαι αὐτὸν τῷ Πυθαγόρᾳ φασίν· ἱστορεῖ δὲ καὶ ἀνδρειοτάτους Θρᾳκῶν τοὺς Γέτας, καὶ δικαιοτάτους· λέγει δὲ καὶ ὅτι εἷλεν αὐτοὺς ὁ Δαρεῖος, ὅτι, σχεδὸν διαβὰς ἐκ τῆς Ἀσίας, ἐπορεύετο διὰ τῆς Θρᾴκης.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Γέται.

302. Τοῦ μὲν ὕπερ πρὸς βορέην τετανυσμένα φῦλα νέμονται
Πολλὰ μάλ' ἑξείης, Μαιώτιδος ἐς στόμα λίμνης,
Γερμανοί, Σαρμάται τε, Γέται[3] θ' ἅμα, Βαστάρναι τε.

Διονυσίου Οἰκουμένης Περιήγησις Τ. Β. σ. 84-5

---

(3) Ὅτι τοὺς Γέτας Διονύσιος μὲν πρὸς βορρᾶν τοῦ Ἴστρου οἶδεν, ὡς ἀνωτέρω εἴρηται, καθὰ καὶ τοὺς Σαρμάτας, οἳ ἔθνος εἰσὶ Σκυθικόν. Ἡρόδοτος δὲ μέρος οἴεται εἶναι τῶν Θρᾳκῶν τοὺς Γέτας· ὁ δὲ Γεωγράφος ἐπέκεινα τοῦ ποταμοῦ αὐτοὺς οἰκεῖν ἱστορεῖ, ὡς καὶ τοὺς Μυσοὺς καὶ τοὺς Θρᾷκας· φιλογύναιοι δέ, φησίν, εἰσί, καὶ περὶ τὸ θεῖον σπουδάζοντες· παρ' οἷς ἦν καὶ ὁ Ζάμολξις Πυθαγόρᾳ φοιτήσας, καὶ τοῖς Αἰγυπτίοις πολλὰ προσμαθών, καὶ διὰ αὐτὰς νομοθέτης καὶ μάντις διὰ τοῦτο, καὶ κοινωνῶν τῷ βασιλεῖ τῶν πραγμάτων· γενναῖοι δέ εἰσιν οἱ Γέται, φησὶ καὶ τοῖς Ῥωμαίοις φοβεροί, καὶ διαβαίνοντες τὸν Ἴστρον καὶ λεηλατοῦντες τούς τε Ἰλλυριούς, καὶ τοὺς Θρᾷκας, καὶ τοὺς Μακεδόνας. νόμος δὲ Γετικὸς ἐπισφάζεσθαι τὴν γυναῖκα τῷ ἀνδρὶ θανόντι, καὶ κιθαρίζειν, ὅταν ἐπικηρυκεύωνται. Ἡρόδοτος δὲ καὶ τοξεύειν φησὶν αὐτοὺς ἄνω πρὸς τὴν βροντὴν καὶ τὴν ἀστραπὴν ἀπειλοῦντες τῷ θεῷ· ἔτι φησὶν ὁ Γεωγράφος διαβῆναι μέν ποτε τὸν Ἀλέξανδρον εἰς τοὺς πέραν Ἴστρου Γέτας, διὰ ταχέων δὲ ἀναστρέψαι, λαβόντα δῶρα· λέγεται δὲ καί, ὡς τοσοῦτον αὐτοί τε καὶ οἱ Δάκαι ηὐξήθησάν ποτε, ὥστε εἴκοσι μυριάδας ἐκπέμπειν στρατοῦ· ὕστερον δὲ συσταλέντες, ἐγγὺς ἦλθον τοῦ ὑπακούειν Ῥωμαίοις· ὁ δὲ Ἰουλιανὸς ἔν τινι τῶν αὐτοῦ λόγων γράφει, ὅτι τὸ τῶν Γετῶν ἔθνος τῶν πώποτε μαχιμώτατον, διά τε τὴν ἀνδρείαν καὶ τὸν Ζάμολξιν, ὃν ἐτίμων· ὁ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

γὰρ ἀποθνήσκειν, ἀλλὰ μετοικίζεσθαι νομίζοντες ἐλαφρότερον ζήσουσιν, ἢ τὰς ἀσθενείας ὑπομένουσι. καὶ Ἡρόδοτος δὲ ἀθανατίζοντας αὐτοὺς καλεῖ, διὰ τὸν ῥηθέντα μέγα Ζάμολξιν, ὃν καὶ μαθητεῦσαι αὐτὸν τῷ Πυθαγόρᾳ φησίν· ἱστορεῖ δὲ καὶ ἀνδρειοτάτους Θρακῶν τοὺς Γέτας, καὶ δικαιοτάτους· λέγει δὲ καὶ ὅτι εἷλεν αὐτοὺς ὁ Δαρεῖος, ὅτε, σχεδίᾳ διαβὰς ἐκ τῆς Ἀσίας, ἐπορεύετο διὰ τῆς Θρᾴκης.